φάγεσαι αὐτά· ἐν βολβίτοις κόπρου ἀνθρωπίνης ἐγκρύψεις αὐτὰ
13 κατ᾽ ὀφθαλμοὺς αὐτῶν [13]καὶ ἐρεῖς Τάδε λέγει κύριος ὁ θεὸς τοῦ
Ισραηλ Οὕτως φάγονται οἱ υἱοὶ Ισραηλ ἀκάθαρτα ἐν τοῖς ἔθνεσιν.
14 [14]καὶ εἶπα Μηδαμῶς, κύριε θεὲ τοῦ Ισραηλ· ἰδοὺ ἡ ψυχή μου οὐ
μεμίανται ἐν ἀκαθαρσίᾳ, καὶ θνησιμαῖον καὶ θηριάλωτον οὐ βέβρωκα
ἀπὸ γενέσεώς μου ἕως τοῦ νῦν, οὐδὲ εἰσελήλυθεν εἰς τὸ στόμα
15 μου πᾶν κρέας ἕωλον. [15]καὶ εἶπεν πρός με Ἰδοὺ δέδωκά σοι βόλ-
βιτα βοῶν ἀντὶ τῶν βολβίτων τῶν ἀνθρωπίνων, καὶ ποιήσεις τοὺς
16 ἄρτους σου ἐπ᾽ αὐτῶν. [16]καὶ εἶπεν πρός με Υἱὲ ἀνθρώπου, ἰδοὺ
ἐγὼ συντρίβω στήριγμα ἄρτου ἐν Ιερουσαλημ, καὶ φάγονται ἄρτον
ἐν σταθμῷ καὶ ἐν ἐνδείᾳ καὶ ὕδωρ ἐν μέτρῳ καὶ ἐν ἀφανισμῷ
17 πίονται, [17]ὅπως ἐνδεεῖς γένωνται ἄρτου καὶ ὕδατος· καὶ ἀφανι-
σθήσεται ἄνθρωπος καὶ ἀδελφὸς αὐτοῦ καὶ τακήσονται ἐν ταῖς
5 ἀδικίαις αὐτῶν. — [1]καὶ σύ, υἱὲ ἀνθρώπου, λαβὲ σεαυτῷ ῥομφαίαν
ὀξεῖαν ὑπὲρ ξυρὸν κουρέως· κτήσῃ αὐτὴν σεαυτῷ καὶ ἐπάξεις
αὐτὴν ἐπὶ τὴν κεφαλήν σου καὶ ἐπὶ τὸν πώγωνά σου. καὶ λήμψῃ
2 ζυγὸν σταθμίων καὶ διαστήσεις αὐτούς· [2]τὸ τέταρτον ἐν πυρὶ
ἀνακαύσεις ἐν μέσῃ τῇ πόλει κατὰ τὴν πλήρωσιν τῶν ἡμερῶν
τοῦ συγκλεισμοῦ· καὶ λήμψῃ τὸ τέταρτον καὶ κατακαύσεις αὐτὸ
ἐν μέσῳ αὐτῆς· καὶ τὸ τέταρτον κατακόψεις ἐν ῥομφαίᾳ κύκλῳ
αὐτῆς· καὶ τὸ τέταρτον διασκορπίσεις τῷ πνεύματι, καὶ μάχαιραν
3 ἐκκενώσω ὀπίσω αὐτῶν. [3]καὶ λήμψῃ ἐκεῖθεν ὀλίγους ἐν ἀριθμῷ
4 καὶ συμπεριλήμψῃ αὐτοὺς τῇ ἀναβολῇ σου. [4]καὶ ἐκ τούτων λήμψῃ
ἔτι καὶ ῥίψεις αὐτοὺς εἰς μέσον τοῦ πυρὸς καὶ κατακαύσεις αὐτοὺς
ἐν πυρί· ἐξ αὐτῆς ἐξελεύσεται πῦρ.
5 Καὶ ἐρεῖς παντὶ οἴκῳ Ισραηλ [5]Τάδε λέγει κύριος Αὕτη ἡ Ιερου-
σαλημ ἐν μέσῳ τῶν ἐθνῶν τέθεικα αὐτὴν καὶ τὰς κύκλῳ αὐτῆς
6 χώρας. [6]καὶ ἐρεῖς τὰ δικαιώματά μου τῇ ἀνόμῳ ἐκ τῶν ἐθνῶν
καὶ τὰ νόμιμά μου ἐκ τῶν χωρῶν τῶν κύκλῳ αὐτῆς, διότι τὰ
δικαιώματά μου ἀπώσαντο καὶ ἐν τοῖς νομίμοις μου οὐκ ἐπορεύ-
7 θησαν ἐν αὐτοῖς. [7]διὰ τοῦτο τάδε λέγει κύριος Ἀνθ᾽ ὧν ἡ ἀφορμὴ
ὑμῶν ἐκ τῶν ἐθνῶν τῶν κύκλῳ ὑμῶν καὶ ἐν τοῖς νομίμοις μου
οὐκ ἐπορεύθητε καὶ τὰ δικαιώματά μου οὐκ ἐποιήσατε, ἀλλ᾽ οὐδὲ
κατὰ τὰ δικαιώματα τῶν ἐθνῶν τῶν κύκλῳ ὑμῶν οὐ πεποιήκατε,

12 εγκρυψεις] κατακρ. A† || 13 του ισραηλ ... ισραηλ] ισραηλ ... του ισραηλ B || 14 κυριε] + κυριε A pau.: cf. 2 4 | ιδου VL] ει BA | θνησ. .. θηριαλ.] tr. B† | γενεσ.] pr. της A† | εωλον $A^{*}B^{c}$†] βεβηλον $B^{*}A^{c}$ et $B^{mg}$. εωλον και βεβηλον compl. || 15 ειπεν] + κυριος A: item in 16 || 16 εν $3^{0}$ > A*: ante ενδεια || 17 τακησ.] pr. εν $B^{c}$

5 1 κτησαι A || 5 κυριος B†] pr.(pau. add.) αδωναι rel. = 𝔐: de hoc nomine a B fere ubique absente cf. Corn. p. 173; cf. etiam 2 4 | αυτη η] τη $AB^{c}$, αυτη tantum Q || 6 εκ $2^{0}$ > B || 7 κυριος B†] pr. αδωναι rel.: item in 8. 11, cf. 5 | fin. ου πεποιηκατε] ουκ εποιησατε A: cf. 9